alij in studiis literarum, alij in artibus, alij in Republica: Magnũ etiam ad subeunda pericula discrimen hic habitus affert: quippe cùm multi metu variè moueantur, ob eam scilicet rem, quòd ita à se ipsi differunt, prout incidit, vt vices eius habitus gererent. Habitus enim melancholicus vt morbos varios creat, ita etiam ipse inæquabilis est, quippe qui aliâs frigidus in modum aquæ, aliâs calidus sit. Quam ob rem cùm formidolosum quicquam denũciatum est, si habitus iusto frigidior sit, timidum reddet. tam enim metui aditum patefacit, & metus ipse refrigerat, vt ex iis constat, qui metu perculsi obtremiscunt. Sed si amplius caleat, metus inuectus ad mediocritatem reducet, temperabit, intrepidúmque proinde hominem seruabit. Quinetiam cùm sponte molestiis animus tabescit, quod frequenter vsu euenit, ratio perquam similis est. Fit enim sæpenumero, vt angamus, & animo succũbamus: sed cur ita, nullam reddere causam habemus: aliâs contrà, vt securitate animi gestiamus, sed quamobrem, minimè constat. Affectus igitur tam isti, quàm illi superiùs explicati, paulisper quidem consistere in omnibus solent. Omnes enim aliquid illius materiæ, facultatísque sibi intermistũ proculdubio continent: sed quibus altè, amplitérque constiterint, ij iam morũ qualitate quadam notescunt, & nominantur. Vt enim specie inter se distant, non quia faciem habent, sed quia faciem talem, id est, alij pulchram, alij turpem, & qui nihil superuacui gerunt, ij stata sunt forma: sic etiam qui leuiter habitu illo constant, ij medium tenent: qui plenè, ij iam dissimiles multitudini euadunt. Nam si omnino merus bilis atræ habitus sit, melãcholicos admodum esse necessum est: sin autẽ quendam in modum temperetur, egregij, singularésq. instituuntur: hi tamen si parum suæ valetudini consulunt, facilè in vitia bilis atræ labuntur, alij parte alia sui corporis: alij nanque in morbum comitialem incidunt, alij attoniti fiunt, alij vehementissimè anxij aut formidolosi redduntur, alij maiorem in modum sibi confidunt, & sperant: quod etiam Archelao regi Macedoniæ vsu euenisse accepimus. Causam verò tam variæ potestatis ipse habitus dat, scilicet prout frigidus, calidúsve constiterit. Nam si vltra modum frigidus sit, molestiæ, anxietatésque sponte sine vlla ratione nascentur, ex quo mortem laqueo sibi consciscunt, maximè quidem iuniores, interdum tamen & seniores. Multi etiam vinolenti sese interimunt. Nonnulli verò ex melancholicis vbi abundè potarunt, dolent, & animo vehementer succumbunt.

A οἱ δὲ, πρὸς τέχνας· οἱ δὲ, πρὸς πολιτείαν. πολλὴν δὲ καὶ εἰς τοὺς κινδύνους ποιεῖ διαφορὰν ἡ τοιαύτη ἕξις, διὰ τὸ ἐνίοτε ἀνωμάλους εἶναι μὲν τοῖς φόβοις πολλοὺς τῶν ἀνδρῶν. ὡς γὰρ ἂν τύχωσι τὸ σῶμα ἔχοντες πρὸς τὴν τοιαύτην κρᾶσιν, διαφέρουσιν αὐτοὶ αὑτῶν· ἡ δὲ μελαγχολικὴ κρᾶσις, ὥσπερ καὶ ἐν ταῖς νόσοις ἀνωμάλους ποιεῖ, οὕτω καὶ αὐτὴ ἀνώμαλός ἐστιν· ὁτὲ μὲν
B [γὰρ] ψυχρά ἐστιν ὥσπερ ὕδωρ· ὁτὲ δὲ, θερμή· ὥστε φοβερόν τι ὅταν εἰσαγγελθῇ, ἐὰν μὲν ψυχροτέρας οὔσης τῆς κράσεως τύχῃ, δειλὸν ποιεῖ. προωδοπεποίηκε γὰρ τῷ φόβῳ, καὶ ὁ φόβος καταψύχει. δηλοῦσι δὲ οἱ περίφοβοι· τρέμουσι γάρ. ἐὰν δὲ μᾶλλον θερμὴ, εἰς τὸ μέτριον κατέστησεν ὁ φόβος, καὶ ἐν ταὐτῷ, καὶ ἀπαθῆ. ὁμοίως δὲ καὶ πρὸς τὰς καθ' ἡμέ-
C ραν ἀθυμίας· πολλάκις γὰρ οὕτως ἔχομεν, ὥστε λυπεῖσθαι· ἐφ' ὅτῳ δὲ, οὐκ ἂν ἔχοιμεν εἰπεῖν· ὁτὲ δὲ, ἀθύμως· ἐφ' ᾧ δὲ, οὐ δῆλον. τὰ δὴ τοιαῦτα πάθη καὶ τὰ πάλαι λεχθέντα, κατὰ μέν τι μικρὸν πᾶσι γίνεται. πᾶσι γὰρ μέμικταί τι τῆς δυνάμεως. ὅσοις δὲ εἰς βάθος, οὗτοι δὲ ἤδη ποιοί τινές εἰσι τὰ ἤθη. ὥσπερ γὰρ τὸ εἶδος ἕτεροι γίνονται, οὐ τῷ πρόσωπον ἔχειν, ἀλλὰ τῷ ποιόν τι τὸ πρόσωπον, οἱ μὲν καλὸν,
D οἱ δὲ αἰσχρὸν, οἱ δὲ, μηδὲν ἔχοντες περιττόν· οὗτοι δὲ, μέσοι τὴν φύσιν· οὕτω καὶ οἱ μὲν μικρὰ μετέχοντες τῆς τοιαύτης κράσεως, μέσοι εἰσίν· οἱ δὲ πλήθους, ἤδη ἀνόμοιοι τοῖς πολλοῖς· ἐὰν μὲν γὰρ σφόδρα κατακορὴς ᾖ ἡ ἕξις, μελαγχολικοί εἰσι λίαν· ἐὰν δέ πως κραθῶσι, περιττοί. ῥέπουσι δὲ, ἂν ἀμελῶσιν, ἐπὶ τὰ μελαγχολικὰ νοσήματα, ἄλλοι περὶ ἄλ-
E λο μέρος τοῦ σώματος· καὶ τοῖς μὲν, ἐπιληπτικὰ ἀποσημαίνει· τοῖς δὲ, ἀποπληκτικά· ἄλλοις δὲ, ἀθυμίαι ἰσχυραὶ ἢ φόβοι· τοῖς δὲ, θάρρη λίαν, οἷον καὶ Ἀρχελάῳ συνέβαινε τῷ Μακεδονίας βασιλεῖ. αἴτιον δὲ τῆς τοιαύτης δυνάμεως ἡ κρᾶσις, ὅπως ἂν ἔχῃ ψύξεώς τε καὶ θερμότητος. ψυχροτέρα μὲν γὰρ οὖσα τοῦ καιροῦ, δυσθυμίας ποιεῖ ἀλόγους· διὸ
F αἵ τ' ἀγχόναι μάλιστα τοῖς νέοις, ἐνίοτε δὲ καὶ πρεσβυτέροις. πολλοὶ δὲ καὶ μετὰ τὰς μέθας διαφθείρουσιν ἑαυτούς. ἔνιοι δὲ τῶν μελαγχολικῶν ἐκ τῶν πότων, ἀθύμως διάγουσι.